ἐν τοῖϲιν ἔργοιϲ οὐχὶ τοῖϲ λόγοιϲ ἴϲον.
ἐκ τῶνδε μὴ θαύμαζε τῶν εἰρημένων,
Θηϲεῦ, πρὸ πύργων τούϲδε τολμῆϲαι θανεῖν.
τὸ γὰρ τραφῆναι μὴ κακῶϲ αἰδῶ φέρει·
αἰϲχύνεται δὲ τἀγάθ' ἀϲκήϲαϲ ἀνὴρ
κακὸϲ γενέϲθαι πᾶϲ τιϲ. ἡ δ' εὐανδρία
διδακτόν, εἴπερ καὶ βρέφοϲ διδάϲκεται
λέγειν ἀκούειν θ' ὧν μάθηϲιν οὐκ ἔχει.
ἃ δ' ἂν μάθηι τιϲ, ταῦτα ϲώιζεϲθαι φιλεῖ
πρὸϲ γῆραϲ. οὕτω παῖδαϲ εὖ παιδεύετε.

Χο. ἰὼ τέκνον, δυϲτυχῆ
ϲ' ἔτρεφον ἔφερον ὑφ' ἥπατοϲ
πόνουϲ ἐνεγκοῦϲ' ἐν ὠδῖϲι· καὶ
νῦν τὸν ἐμὸν Ἀίδαϲ
ἔχει μόχθον ἀθλίαϲ,
ἐγὼ δὲ γηροβοϲκὸν οὐκ ἔχω, τεκοῦϲ'
ἁ τάλαινα παῖδα.

Θη. καὶ μὴν τὸν Οἰκλέουϲ γε γενναῖον τόκον
θεοὶ ζῶντ' ἀναρπάϲαντεϲ ἐϲ μυχοὺϲ χθονὸϲ
αὐτοῖϲ τεθρίπποιϲ εὐλογοῦϲιν ἐμφανῶϲ.